Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Caput XII.

urn:nbn:de:hbz:466:1-14478

verò ipsum esse summum & ultra omnia positum Deum affirmarunt; inter se longissimè distantia, nescio quomodo confundentes; dum ipsum omnium Rectorem, & supremam atque ingenitam naturam, deorsum in terram dejiciunt, & cum corpore & corruptibili materia colligant, mediúmque inter rationalia & rationis expertia animalia, intérque mortales & immortales substantias volutari affirmant. Ita quidem illi.

CAPUT XII.

Divinitùs autem tradita doctrina, id quod summum omnium bonum & universorum causa est, ultrà omnem comprehensionem positum esse asserit: ac proinde nec verbis & oratione exprimi, nec nomine appellari posse; & cogitationem omnem, nedum vocem excedere. Idem nec loco comprehendi, nec in corporibus, nec in cælo aut æthere aut alia qua parte universi existere: sed prorsus extra omnia, in arcano quodam intelligentiæ recessu abditum esse. Hunc solum verum Deum agnosci debere sacra docent oracula; qui ab omni corporea substantia segregatus, & ab omni ministerio dispensationis alienus est. Quocirca ex ipso cuncta, non autem per ipsum extitisse dicuntur. Sed ipse quidem velut Imperator, intus in abditis & inaccessis penetralibus, lucem habitans inaccessam, ubique pro suæ voluntatis arbitrio statuit ac præcipit. Ipso enim volente existit quidquid existit; eodémque nolente, non existit. Vult autem quæcumq; sunt bona, quoniam ipse suapte naturâ ipsum est bonum. Dei autem sermo per quem omnia sunt, sursum ex optimo Patre tanquam ex perenni & immenso fonte emanans, instar fluvii profluit; totus ad communem omnium rerum conservationem exundans. Et quemadmodum, ut ex nobis ipsis sumpto utar exemplo, mens quæ in nobis est spiritalis & invisibilis, cujus substantia quæ qualisve sit, nullus unquam cognovit mortalium; tanquam Imperator quidam in secretis regiæ penetralibus residens, sola quæ agenda sunt dispicit: Sermo vero, tanquam unigenitus Filius inexplicabili quodam modo & arcana virtute quæ verbis exprimi non potest, ab ipsa mente generatus, ex abdito ejus sinu velut ex Parente progreditur; primúsque paternarum cogitationum nuntius atque interpres factus, palam omnibus annuntiat ea quæ à parente clam & occultè constituta sunt, & ad omnium aures perlatus, consilia Patris sui operibus

A δὲ εἱμαρμένην. οἱ δ' αὐτὸν εἶναι τὸν ἐπέκεινα τῶν ὅλων Θεὸν, οὐκ οἶδ' ὅπως τὰ πορρωτάτω διεστῶτα μιγνύντες, ἀπεφήναντο. αὐτὸν τὸν πανηγεμόνα, καὶ τὴν ἀγέννητον καὶ ἀνωτάτω δύναμιν, κάτω βάλλοντες ἐπὶ γῆν. καὶ σώματα ὕλῃ φθαρτῇ συμπλέξαντες. ἀλόγων τε ζώων καὶ λογικῶν, θνητῶν τε καὶ ἀθανάτων μέσον εἱλεῖσθαι φήσαντες· ἀλλ' οἱ μὲν ταῦτα. Ἡ δ' ἔνθεος διδασκαλία, τὸ τῶν ἀγαθῶν ἀνώτατον αὐτὸ δὴ τὸ πάντων αἴτιον, ἐπέκεινα πάσης καταλήψεως εἶναι φησί.
B διὸ δὴ ἄρρητον καὶ ἄλεκτον καὶ ἀνωνόμαστον, καὶ φωνῆς οὐ μόνον, ἀλλὰ καὶ ἐννοίας ἁπάσης ὑπέρτερον εἶναι. οὐκ ἐν τόπῳ περιληπτὸν, οὐκ ἐν σώμασιν ὄν. οὐκ ἐν οὐρανῷ. οὐκ ἐν αἰθέρι, οὐδ' ἔν τινι μέρει τοῦ παντός. ἀλλὰ πάντη πάντων ἐκτὸς, ἐν ἀπορρήτῳ βυθῷ γνώσεως τεταμιευμένον· τοῦτον μόνον, ἀληθῆ Θεὸν τὰ θεῖα λόγια εἰδέναι παιδεύει, πάσης κεχωρισμένον σωματικῆς οὐσίας. πάσης ἀλλότριον ὑπηρετικῆς οἰκονομίας· διὸ δὴ ἐξ αὐτοῦ τὸ πᾶν, οὐ μὴν καὶ δι' αὐτοῦ φῦναι παραδέδοται.
C ἀλλ' αὐτὸς μὲν οἷα βασιλεὺς, εἴσω που ἐν ἀπορρήτοις καὶ ἀδύτοις καὶ ἀβάτοις, φῶς οἰκῶν ἀπρόσιτον διὰ παντὸς, μόνῃ τῇ θελητικῇ δυνάμει νομοθετεῖ καὶ διατάττεται· θέλοντος γάρ ἐστιν ὅ,τι καὶ ἔστι. καὶ μὴ θέλοντος, οὐκ ἔστι. θέλει δὲ ἀγαθὰ πάντα, ὅτι δὴ καὶ αὐτὸς ἀγαθὸν τῇ οὐσίᾳ τυγχάνει. ὁ δὲ διὰ τὰ πάντα Θεοῦ λόγος, ἄνωθεν ἐξ ἀγαθοῦ πατρὸς, ὡς ἐξ ἀενάου καὶ ἀπείρου πηγῆς ἀνομβρῶν λόγος ἄρρητος, ποταμοῦ δίκην πρόεισιν. ὅλος πλημμυρῶν ἐς τὸ κοινὸν τῆς τοῦ παντὸς σωτηρίας. ὡς δὲ ἐπὶ τοῦ καθ' ἡμᾶς παραδείγματος, ὁ μὲν ἀόρατος καὶ ἀφανὴς ἐν ἡμῖν νοῦς, ὃν ὅς τίς ποτε καὶ ὁποῖος ὢν τὴν οὐσίαν ὑπάρχει, οὐδεὶς πώποτε ἀνθρώπων ἔγνω,
D βασιλεὺς δ' οἷα ἐν ἀπορρήτοις εἴσω τοῖς αὐτοῦ ταμείοις ὑπάρχων, μόνος τὰ πρακτέα βουλεύεται. λόγος δ' ἐξ αὐτοῦ προελθὼν μονογενὴς, οἷα πατρὸς ἐξ αὐτοῦ μυχῶν γεννημένος ἀρρήτῳ λόγῳ, καὶ δυνάμει ἀκατονομάστῳ. ὃς δὴ καὶ πρῶτος τῶν πατρικῶν τοῖς πᾶσι καθίσταται νοημάτων ἄγγελος, εἰς φανερόν τε κηρύττει τὰ ἐν ἀπορρήτοις τῷ πατρὶ βεβουλευμένα. ἔργοις τε ἐπιτελεῖ τὰ βουλεύματα περιιὼν εἰς τὰς πάντων ἀκοὰς

εἶθ' οἱ μὲν ἐκ τῆς τοῦ λόγου μετέλαβον ὠφελείας. τὸν δ' ἀφανῆ καὶ ἀόρατον νοῦν τὸν δὴ τοῦ λόγου πατέρα, οὐδεὶς πώποτε εἶδεν ὀφθαλμοῖς· κατὰ ταὐτὰ δὴ, μᾶλλον δὲ καὶ ἐπέκεινα πάσης εἰκόνος τε καὶ παραδείγματος, ὁ τοῦ παμβασιλέως Θεοῦ τέλειος λόγος, οἷα μονογενὴς πατρὸς υἱὸς, οὐ προφορικῇ συνεστὼς δυνάμει, οὐδ' ἐκ συλλαβῶν ὀνομάτων τε καὶ ῥημάτων τὴν φύσιν κατεσκευασμένος. οὐδ' ἐν φωνῇ δι' ἀέρος πληττομένῃ σημαινόμενος. Θεοῦ δὲ τοῦ ἐπὶ πάντων ζῶν καὶ ἐνεργὴς ὑπάρχων λόγος, κατ' οὐσίαν τε ὑφεστὼς οἷα Θεοῦ δύναμις καὶ Θεοῦ Σοφία, πρόεισι μὲν τῆς πατρικῆς θεότητός τε καὶ βασιλείας. ἀγαθοῦ δὲ πατρὸς ἀγαθὸν τυγχάνων γέννημα, κοινός τε ἁπάντων Σωτὴρ, ἐποχετεύει τὰ σύμπαντα ζῶν. καὶ λόγου καὶ Σοφίας καὶ φωτὸς, καὶ πάντων ἀγαθῶν ἐκ τοῦ οἰκείου πληρώματος τοῖς πᾶσιν ἐπιλιμνάζων, ἀρδεύει οὐ τὰ προσεχῆ μόνον καὶ ἐγγυτάτω, ἀλλὰ καὶ τὰ πόρρω διεστῶτα κατά τε γῆν καὶ θάλατταν, καὶ ἥτις ἑτέρα τούτων ἐν τοῖς οὖσι τυγχάνει λῆξις. οἷς ὁμοῦ πᾶσιν, ὅρους καὶ χώρας καὶ νόμους καὶ κλήρους διατάττεται κατὰ τὸ δικαιότατον. ἐξουσίᾳ βασιλικῇ τὰ πρόσφορα νέμων ἑκάστῳ καὶ χορηγῶν. καὶ τοῖς μὲν ὑπερκοσμίους ἁψῖδας. τοῖς δ' αὐτὸν οὐρανὸν οἰκεῖν, τοῖς δ' αἰθερίους διατριβάς. τοῖς δὲ ἀέρα. τοῖς δὲ γῆν ἀφορίζων. κἄπειτα μεθιστῶν ἐνθένδε πάλιν ἀλλαχόσε. διακρίνων τε εὖ μάλα τοὺς ἑκάστων βίους, ἤθη τε καὶ τρόπων διατριβὰς ἀμειβόμενος. ζωῆς τε καὶ τροφῆς οὐ λογικῶν μόνον, ἀλλὰ καὶ ζώων ἀλόγων ἐπὶ χρήσει τῶν λογικῶν ἐπιμελούμενος. καὶ τοῖς μὲν θνητοῖς καὶ πρόσκαιρον ζωῆς ἀπόλαυσιν, τῆς τ' ἀθανάτου μετουσίαν παρέχων, πάντα τε αὐτὸς οἷα Θεοῦ λόγος ἐνεργεῖ, τοῖς πᾶσιν ἐπιπαρών, καὶ τὰ πάντα λογικῇ δυνάμει ἐπιπορευόμενος. ἄνω τε πρὸς τὸν αὐτοῦ πατέρα βλέπων, τοῖς ἐκείνου νεύμασι τὰ κάτω, καὶ μετ' αὐτὸν ἀκολούθως, οἷα κοινὸς ἁπάντων Σωτὴρ διακυβερνᾷ. μεσεύων ἀμηγέπη, καὶ συνάγων πρὸς τὸν ἀγέννητον τὴν γεννητὴν οὐσίαν. δεσμός τις οὗτος ἀρραγὴς Θεοῦ λόγος μέσος τυγχάνει, συνδέων τὰ διεστῶτα, καὶ μὴ μακρὰν ἀποπίπτειν αὐτὰ συγχωρῶν· οὗτος ἡ καθόλου πρόνοια. κηδεμὼν οὗτος καὶ διορθωτὴς ἰδιοπραγός. οὗτος Θεοῦ δύ-

A ipsis exequitur. Atq; hi quidem ex sermone ipso magnam percipiunt utilitatem: ipsam verò mentem quæ abdita & invisibilis est sermonis parens, nemo unquam oculis aspexit. Sic planè, aut potiùs præstantiore quodam modo & omnis exempli comparationem longè superante, Dei omnium Regis perfectissimus sermo, utpote unicus ejus Filius, non ex prolationis vi consistens, nec ex syllabis & nominibus ac verbis compositus: nec voce per aëris percussionem expressus; sed summi Dei vivus atque B efficax sermo, ac personaliter subsistẽs: quippe qui Dei virtus sit atque sapientia, ex Patris divinitate & regno procedit. Cúmque boni Patris bonus fætus, & communis omnium rerum Conservator sit, universa permeans irrigat, & præ abundantia rationis, sapientiæ, lucis & omnium quæ in ipso sunt bonorum, sese in omnia diffundens, non vicina duntaxat & sibi proxima rigat: verùm etiam res longissimè dissitas, tam in terra quàm in mari, seu quæ alia in rerum natura sedes est præter istas. Quibus universis terminos, regiones, leges ac certas sortes summa cum æquitate constituit: quæ unicuique congrua sunt, re- C gali quadam potentia tribuens ac subministrans. Et his quidem fornices illos qui supra mundum sunt, illis verò cælum ipsum, aliis sedes æthereas, aliis aërem, terram aliis colendam assignans. Ac rursus eos inde in alia transferens loca, ac singulorum vitam optimè dijudicans, moresque ac studia cujusque remunerans. Victum etiam & alimenta non modo animalibus ratione præditis, sed brutis etiam ad hominum usus prospicit: his quidem mortalis & caducæ vitæ brevem fructum concedens; illis D verò immortalis vitę indulgens consortium. Cuncta denique tanquam Dei sermo exsequitur; ipse ubique præsens, & rationali virtute universa pervadens. Sursum quoque defixis in Patrem suum luminibus, ex nutu imperióque ejus inferiora cuncta & post seipsum orta, utpote communis omniũ Servator moderatur; medius quodammodo inter utraque existens, & substantiam quæ ortum habet, cum ingenito Patre conjungens. Est quippe Dei sermo quasi firmissimũ quoddam vinculum, quo dissita inter se colligantur, nec longiùs sinuntur abscedere. Hic est Providentia quâ universa reguntur: hic est qui omnia curat & cõponit ac corrigit. Hic Dei virtus est at-

que sapientia. Hic deniq; est unigenitus sermo, Deus e:· Deo genitus. Nam, ut sacræ Theologorum docent paginæ,
Ioan. 1. In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum. Omnia per ipsum facta sunt, & sine ipso factum est nihil. Hic est communis omnium agricola, cujus ope cuncta germinant ac pubescunt, ipsius imbribus assiduè irrigata, novoq; indies vigore & venustâ amœnitate decorata. Hic ergo habenas universi manu sua retinens, recto cursu cuncta dirigit, & vastam illam totius mundi navem paterno gubernat arbitrio. Hujusmodi præstantissimum Artificem, unigenitum scilicet Filium, cùm is qui super omnia est Deus, tanquam optimus Pater optimum fœtum ex se genuisset, eum huic mundo quasi summum bonum donavit, illumq; corporibus inanimatis tanquam animam infundens, & ratione destitutis sermonem suum ac rationem immiscens, informem materiam & animæ, speciei ac figuræ omnis expertem, divina sermonis sui virtute illustravit & animavit. Quem quidem nos & agnoscere & contemplari debemus, in materia quidem & corporum elementis ubique præsentem, & cuncta animalia generantem, eundemque lumen, & inexplicabilis luminis intellectualem fœtum. Qui substantiâ quidem unus est, utpote ex uno editus Patre: multas tamen in se virtutes continet ac facultates. Neq; enim ex eo quòd multæ sint mundi partes, existimare debemus multas esse potestates: neq; eò quòd multa sunt condita, plures quoque Deos statuere oportet. Superstitiosi quidem illi multorũ Deorum cultores, utpote simplices & imperiti, gravissimo errore aberrarunt, dum mundi quasdam partes inter Deos referunt, & mundum qui unus est, in plures partiuntur. Eodẽ planè modo ac si quis oculos hominis seorsũ sumptos, hominem ipsum esse diceret: aures quoq; aliũ hominem, caput etiam & collũ, pectus itẽ & humeros, pedes & manus ac reliqua membra minutatim dividens, ipsas denique sensuum facultates mente dispertiens, multos homines esse affirmaret eum qui reverà unus est. Qui profectò amentiã suam prudentib⁹ viris ridẽdã propinaret. Hujusmodi omninò sũt, qui ex unius mundi partibus innumerabiles Deos constituerunt: aut qui ipsum mundum, qui & ortus est & ex pluribus constat partibus, Deum esse existimant: nec intelligunt fieri nullo modo posse,

A ναμις καὶ Θεοῦ σοφία. οὗτος μονογενὴς Θεοῦ
ἐκ Θεοῦ γεγεννημένος λόγος. ὁ ἐν ἀρχῇ
ἦν ὁ λόγος. καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ
Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ
χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε. θεολόγων
ἀνδρῶν ἱεραὶ διδάσκουσι φωναί. οὗτος ὁ κοινὸς
ἁπάντων φυτουργὸς, δι' ὃν ἡ τῶν ὅλων ἐπι-
φύει καὶ θάλλει. ὁ μβρήμασι τοῖς ἐξ αὐτοῦ
παντὸς ἀρδευομένη. νεαράν τε ἀεὶ τὴν ἀκμὴν
καὶ τὴν ὥραν περικαλλῆ τοῦ παντὸς παρεχο-
μένη. ὁ δὲ τῶν ἡνίων ἐπειλημμένος, εὐθυπο-
ρεῖ καὶ πατρικῷ νεύματι, τὸ μέγα τοῦ σύμ-
B παντος κόσμου πηδαλιουχῶν σκάφος. τοῦ-
τον καλλιτέχνην υἱὸν μονογενῆ ὁ τῶν ὅλων
ἐπέκεινα Θεὸς, οἷα πατὴρ ἀγαθὸν ἀποτεκών
σας καρπὸν, τῷ δὲ τῷ κόσμῳ μέγιστον ἀγαθὸν
ἐδωρήσατο. ἅτε ψυχὴν ἀψύχῳ σώματι
τῶν σωμάτων ἀλόγῳ φύσει τὸν αὐτοῦ λόγον
ἐμβαλών. καὶ τὴν ἄμορφον καὶ ἀνείδεον
ψυχόν τε καὶ ἀσχημάτιστον οὐσίαν, θείᾳ δυνά-
μει λόγου φωτίσας τε καὶ ψυχώσας. ὃν δὴ καὶ
ἡ γνωριστέον τε καὶ σκεπτέον, ἐν ὕλῃ μὲν καὶ σω-
μάτων στοιχείοις διὰ παντὸς ἐπιχωριάζοντα,
καὶ τὰ πάντα ζωογονοῦντα. τὸν αὐτὸν δὲ φῶς
C καὶ γέννημα νοερὸν φωτὸς ἀλέκτου· καὶ μίαν μὲν
τὴν οὐσίαν, ὡς ἂν ἐξ ἑνὸς ὄντα πατρὸς. πολ-
λὰς δὲ τὰς ἐν αὐτῷ κεκτημένον δυνάμεις. οὐ
ἐπειδὴ πολλὰ μέρη κόσμου, διὰ τοῦτο καὶ
πολλὰς δυνάμεις ἡγητέον. οὐδ' ἐπεὶ πολ-
λὰ πεποιημένα, ταύτῃ καὶ Θεοὺς ὑφιστᾶν
προσήκει πλείους. δεινὴν δὲ οἷα νήπιοι τὰς ψυ-
χὰς, πολυθέων ἀνδρῶν παῖδες πλάνην ἐπλα-
νήθησαν, τὰ μέρη τοῦ παντὸς θεοποιήσαντες,
καὶ τὸν ἕνα κόσμον εἰς πολλὰ διελόντες. ὡς
καὶ ἀνθρώπου συνεστῶτος ἑνὸς, ἀπολαβὼν
D ἰδίως ὀφθαλμοὺς, ἄνθρωπον εἶναι λέγοι τις
τούς. καὶ ὦτα πάλιν, ἄλλον ἄνθρωπον, καὶ κε-
φαλὴν ὁμοίως. αὐχένα τε καὶ στέρνα καὶ ὤμους
πόδας τε καὶ χεῖρας, καὶ τὰ λοιπὰ καθέκα-
στα τὰς μέλη, τάς τε τῶν αἰσθητηρίων δυνά-
μεις καταδιελὼν τῷ λόγῳ, παμπόλλους φή-
εἶναι ἀνθρώπους τὸν ἕνα. πλεῖον οὐδὲν ἢ μακρὸν
γέλωτα, παρὰ τοῖς ἔμφροσιν ὀφλισκάνοι.
τοιοῦτος ἂν εἴη καὶ ὁ μυρίους ἑαυτῷ Θεοὺς ἐξ ἑνὸς
κόσμου τῶν μερῶν ὑφιστάμενος, ἢ καὶ αὐτὸν
Θεὸν τὸν γενητὸν τουτονὶ κόσμον πολλῶν ἐκ
μερῶν

μερῶν ὑφεστῶτα νομίζων. καὶ οὐκ εἰδὼς ὅτι θεία φύσις, οὐκ ἄν ποτε ἐκ μερῶν συσταίη· εἰ δὲ σύνθετος γένοιτο, καὶ ἑτέρου δέοιτο ἂν τοῦ συνθήσοντος αὐτήν. οὐδ᾽ ἂν πολυμερὴς οὖσα, ὑπάρχοι ἂν θεία· πῶς γὰρ ἐξ ἀνομοίων διαφορῶν, χειρόνων τε καὶ ἀμεινόνων ὑφεστῶσα· ἁπλῆ δὲ καὶ ἀμερὴς καὶ ἀσύνθετος οὖσα, πάσης ἐπέκεινα τυγχάνει τῆς ὁρωμένης τοῦ κόσμου διατάξεως. διὸ δὴ τῆς ἀληθείας ὁ κῆρυξ, ὧδέ πη λέγων διαῤῥήδην κέκραγε· Θεοῦ μὲν λόγος ὁ πρὸ πάντων, μόνος ἂν εἴη λογικῶν πάντων σωτήρ. Θεὸς δὲ ὁ ἐπέκεινα λόγου γενεσιάρχης, μόνος ἁπάντων αἴτιος ὤν, αὐτοῦ μὲν οἷα μονογενοῦς, κυρίως ἂν λεχθείη τοῦ λόγου πατήρ. αὐτὸς δ᾽ ἀνώτερον αἴτιον οὐκ ἐπιγράφεται· διὸ δὴ καὶ μόνος Θεὸς αὐτός. μονογενὴς δ᾽ ἐξ αὐτοῦ προελθὼν ὁ τῶν ὅλων σωτήρ, Θεοῦ λόγος εἷς, ὁ διὰ πάντων· ὡς μὲν οὖν ὁ αἰσθητὸς κόσμος, οἷάπερ πολύχορδος λύρα ἐξ ἀνομοίων συνεστῶσα χορδῶν ὀξειῶν τε καὶ βαρειῶν, τῶν τε ἀνειμένων, καὶ ἐπιτεταμένων καὶ μέσων. εὖ δ᾽ ἡρμοσμένων ἁπασῶν τέχνῃ τῇ μουσικῇ. κατὰ ταῦτα δὴ καὶ ὅδε πολυμερὴς ὢν καὶ πολυσύνθετος, ψυχρᾶς ὁμοῦ καὶ τῆς ἐναντίας ταύτης θερμῆς, ὑγρᾶς τε καὶ αὖ πάλιν τῆς ἐναντίας ταύτης ξηρᾶς οὐσίας, εἰς μίαν συνελθὼν ἁρμονίαν, ὄργανον ἂν εἴη μέγα μεγάλου Θεοῦ δημιούργημα. λόγος δ᾽ ὁ θεῖος οὐκέτ᾽ ἐκ μερῶν συνεστώς, οὐδ᾽ ἐξ ἐναντίων συγκείμενος, ἀμερὴς αὐτὸς ὢν καὶ ἀσύνθετος, εὖ καὶ σοφῶς τὸ πᾶν ἀνακρούεται τῷ αὐτοῦ πατρὶ καὶ βασιλεῖ τῶν ὅλων, τὴν ὀφειλομένην καὶ αὐτῷ πρέπουσαν ἀποδιδοὺς μελῳδίαν· ὡς ὑφ᾽ ἑνὶ σώματι, μέλη μὲν καὶ μέρη, σπλάγχνα τε καὶ ἔγκατα συνῆκται μυρία. ψυχὴ δ᾽ ἀφανὴς ἥπλωται δι᾽ ὅλων μία, καὶ νοῦς ἀμερὴς καὶ ἀσώματος εἷς· οὕτω δὴ καὶ ἐπὶ τοῦδε, ἐν μὲν πολλῶν μερῶν, κόσμος συνέστηκεν εἷς. λόγος δὲ ὡσαύτως Θεοῦ πολυδύναμος καὶ παντοδύναμος εἷς, διὰ πάντων ἥκων καὶ τοῖς πᾶσιν ἀπλανῶς ἐφηπλωμένος, πάντων ἂν εἴη τῶν ἐν αὐτοῖς αἴτιος. οὐχ ὁρᾷς ὀφθαλμοῖς τὸν σύμπαντα κόσμον. ὡς οὐρανὸς εἷς, μυρίας περιλαμβάνει ἀμφὶ τοῦτον χορείας ἀστέρων περιπολούσας· πάλιν ἥλιος εἷς, ἄλλους πλείους, καὶ τὰς ἁπάντων

A ut divina natura ex multis partibus conflata sit. Nam si concreta esset atq; composita, altero opus haberet ut componeretur; nec omninò divina esse posset, quæ ex multis partibus constaret. Quomodo enim divina esse posset, cùm ex diversis ac dissimilibus, & ex deterioribus simul ac præstantioribus componeretur. Est autem Dei natura simplex prorsus, & indivisibilis atque incomposita; & ultra omnem quæ oculis cernitur mundi constitutionem posita. Quocirca ille veritatis præco, contenta voce clamans sic ferè ait: Dei quidem sermo qui ante omnia exstitit; solus est omniũ rationalium Servator. Deus verò qui

B supra omnia est, Principium & Auctor generationis; cùm solus sit omniũ causa, Verbi quidem sui utpote unigeniti Pater propriè dicitur: ipse verò superiorẽ causam nullã agnoscit. Ipse igitur unus est Deus: Unigenitus autem ex eo procedit, Dei sermo unus, per cuncta permanans & omnium conservator. Ac sensibilis quidem hic mundus, non secus ac lyra quędã ex multis ac dissimilib⁹ constans chordis, quarũ alię acutę, alię graves sunt; alię remissę, intensę alię; quędã inter has medię; omnes verò probè aptatæ ex artis musicæ præceptis: sic etiam

C ipse ex multis partibus compositus, ex frigidâ scilicet & huic contrariâ calidâ; item ex humidâ, eiq; cõtrariâ siccâ substantiâ; unamq; ex his omnibus harmoniam efficiens, magnum Dei magni instrumentum opusque meritò dici potest. Divinus autem sermo, qui neque ex partibus constat, neque ex contrariis compositus est, sed simplex atq; indivisibilis, peritè ac modulatè pulsat hoc universum, Patriq; suo, summo omnium Moderatori debitum, ac sibi ipsi convenientem edit concentum. Et quemadmodum in uno corpore, partes quidem ac membra, viscera quoque & intestina

D quàmplurima, simul compaginata sunt, unus autem animus per cuncta diffunditur: & mens indivisibilis atque incorporea una est: sic in hoc universo, mundus quidem ipse ex multis partibus in unum conflatus est: divinus autem sermo multa vi pollens & omnipotens, itidem unus: per universa permanans, & absque vago errore per omnia diffusus, omnium quæ in ipsis fiunt causa est. Annon oculis tuis vides universum hunc mundum? qualiter unicum cælum innumerabiles astrorum choros circa ipsum discursantes complectitur. Qualiter etiam unicus Sol plures alios siderum choros ductat, & lucis suæ præstantiã alio-

rum omnium splendorem occultat. Sic cùm unus sit Pater, unum quoque ejus sermonem, utpote optimi Patris optimum fœtum esse oportet. Quòd si quis conqueratur eò quòd plures non sint, idem etiam quòd non plures sint Soles, plures Lunæ, plures mundi, & alia sexcenta conqueri poterit; instar insani cujusdam ea convellere aggrediens, quæ sunt optimè ac prudentissimè à naturâ constituta. Enimvero ut in visibilibus rebus Sol unus mundum sensibus subjectum illuminat: sic in rebus quæ intelligentia percipiuntur, unus Dei sermo omnipotens, invisibili quadam nobisq; occulta ratione, universa collustrat. Quippe etiam in homine unus animus & una ratiocinandi facultas, multarum simul rerum Artifex est: siquidem & agrum colere; & navem ædificare eandémque regere; & domum exstruere idem animus plurimarum rerum peritia instructus aggreditur. Una quoque in homine mens ac ratio, plures disciplinas complectitur. Etenim una eadémque mens Geometriam & Astronomiam callet; & Grammaticæ ac Rhetoricæ, & Medicinæ præcepta tradit; nec solùm liberalium disciplinarum, sed & artium quæ in manuum opere versantur, magistra est. Nec tamen ideò ideo plures esse uno in corpore animos, ullus unquam existimavit; nec plures in eodem homine substantias, ob multarum simul disciplinarum peritiam miratus est. Ponamus aliquem repertâ luti massâ penitus informi, ex ea deinde manibus emollitâ animalis speciem efformasse; & caput quidem hac figura, manus & pedes aliâ; aliâ oculos, genas, aures item, os & nares, pectus & humeros figulino opere expressisse. Quamvis plures in uno corpore figuræ, partes ac membra effecta sunt, non ideo tamen totidem artifices operis exstitisse putandum est: sed unum totius operis Artificem agnoscere ac laudare debemus, qui unius rationis & unius facultatis ope, totum opus molitus sit. Idem quoq; de hoc universo mundo sentiendum est, qui cùm unus sit, ex pluribus tamen partibus constat. Nec plures opifices potestates ideo ponere, nec plures Deos nominare debemus: sed unam veri Dei potestatem atque sapientiam, omni solertia omnibusq; harmoniæ numeris instructam, divinitatis vocabulo afficere: quippe qui una & singulari vi atque virtute per omnia commeet, & per universum mundum perva-

A ὑπερβολῇ φωτὸς καλύπτει μαρμαρυγαῖς· οὕτω δῆτα ἑνὸς ὄντος πατρὸς, καὶ τὸν τούτου λόγον ἕνα χρὴ ἀγαθὸν ἀγαθοῦ πατρὸς εἶναι. εἰ δ' ὅτι μὴ καὶ πλείους ἐπιμέμψετό τις, ὥρα τὸν τοιοῦτον, ὅτι μὴ καὶ ἡλίους συνίστη πλείους, καὶ σελήνας καὶ κόσμους, καὶ μυρία ἄλλα αἰτιᾶσθαι. μανιώδους τρόπον τὰ ὀρθὰ καὶ εὖ ἔχοντα τῆς φύσεως διαστρέφειν ἐπιχειροῦντος· ἀλλ' ὡς ἐν ὁρατοῖς ἥλιος εἷς τὸν αἰσθητὸν ἅπαντα καταλάμπει κόσμον, οὕτω δὴ καὶ ἐν νοητοῖς, ἀφανῶς καὶ

B ἀοράτως εἷς ὁ τοῦ Θεοῦ λόγος παντοδύναμος, τὰ σύμπαντα καταυγάζει. ἐπεὶ καὶ ἐν ἀνθρώπῳ μία ψυχὴ καὶ μία λογικὴ δύναμις, πλείστων ὁμοῦ γένοιτ' ἂν δημιουργός. εἰ καὶ γεωργεῖν ἡ αὐτὴ, καὶ ναυπηγεῖν, καὶ κυβερνᾶν καὶ οἰκοδομεῖν πολλὰ μαθοῦσα ἐπιβάλοιτο. εἷς νοῦς ἐν ἀνθρώπῳ καὶ λογισμὸς, δέξαιτ' αὐτοῦ τε μυρίας ἐπιστήμας. γεωμετρήσει τε ὁ αὐτὸς καὶ ἀστρονομήσει. καὶ λόγους γραμματικῆς καὶ ῥητορικῆς παραδώσει καὶ ἰατρικῆς. ἔν τε μαθήμασι καὶ τοῖς κατὰ χεῖρα προστήσεται, καὶ οὔπω γε οὐδεὶς πώποτε πλείους ἐν ἑνὶ σώματι

C ψυχὰς ἡγήσατο εἶναι. οὐδὲ πολλὰς ἐθαύμασε τὰς ἐν ἀνθρώπῳ οὐσίας, διὰ τὴν τῶν πολλῶν μαθημάτων ὑποδοχήν. εἰ δὲ καὶ ἄμορφον ὕλην πηλοῦ τις εὑρών. κἄπειτα χερσὶν ἀπαλύνας, ἐπιθείη ζώου μορφήν, ἄλλῳ μὲν σχήματι κεφαλήν. χεῖρας δὲ καὶ πόδας ἑτέρῳ. καὶ ὀφθαλμοὺς πάλιν ἄλλῳ καὶ παρειὰς ὡσαύτως. ὦτά τε καὶ στόμα καὶ ῥῖνας, στέρνα τε καὶ ὤμους ἀποτυπωσάμενος τέχνῃ τῇ πλαστικῇ. ἀλλ' οὐκ ἐπειδὴ πολλὰ σχήματα καὶ μέρη καὶ μέλη ὑφ' ἑνὶ σώματι δεδημιούργηται, το-

D σούτους χρὴ καὶ τοὺς ποιητὰς ἡγεῖσθαι. ἀλλ' ἕνα μὲν ὄντα τὸν τοῦ παντὸς ἀθρόως τεχνίτην εἰδέναι. ἐπαινεῖν δὲ ἀναγκαῖον, τὸν ἑνὶ λογισμῷ καὶ μιᾷ δυνάμει, τὸ πᾶν τεκτηνάμενον· οὕτω δὴ καὶ ἐπὶ τοῦδε τοῦ σύμπαντος κόσμου. ἑνὸς μὲν ὄντος, ἐκ μερῶν δὲ πλείστων ὑφεστῶτος; οὐ πολλὰς χρὴ ὑποτίθεσθαι δημιουργικὰς δυνάμεις, οὐδὲ πολλοὺς ὀνομάζειν θεούς. μίαν δὲ θεολογεῖν τὴν πάνσοφον καὶ παναρμόνιον, τὴν ὡς ἀληθῶς Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, μιᾷ δυνάμει καὶ ἀρετῇ μιᾷ διὰ πάντων ἥκουσαν, καὶ διὰ παντὸς τοῦ κόσμου χωροῦσαν, καὶ τὰ πάντα ὑφισαμένην τε καὶ ζωοῦσαν.

καθόλου τε τοῖς πᾶσι καὶ τοῖς κατὰ μέρος σώμασί τε καὶ στοιχείοις, ποικίλην τὴν ἐξ αὐτῆς χορηγίαν ποιουμένην· οὕτως καὶ φωτὸς ἡλίου μία καὶ ἡ αὐτὴ προσβολὴ, ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ καταυγάζει μὲν ἀέρα. φωτίζει δὲ ὀφθαλμούς. ἁφὴν δὲ θερμαίνει, πιαίνει τε γῆν καὶ αὔξει φυτὰ. χρόνον ὑφίστησιν. ἄστρων ἡγεῖται. οὐρανὸν περιπολεῖ. κόσμον φαιδρύνει. θεοῦ δύναμιν ἐναργῆ τῷ παντὶ συνίστησι. ταῦτά τε πάντα μιᾷ ῥοπῇ φύσεως συντελεῖ· καὶ πυρὸς μὲν φύσις ὡσαύτως. χρυσὸν μὲν καθαίρει, μόλιβδον δὲ τήκει. καὶ κηρὸν μὲν λύει. πηλὸν δὲ ξηραίνει, ὕλην τε φρύγει. μιᾷ τῇ καυστικῇ δυνάμει, τοσαῦτα κατεργαζομένη· ταύτῃ τοι καὶ ὁ παμβασιλεὺς τοῦ θεοῦ λόγος, ὁ διὰ πάντων ἥκων, ἐν πᾶσί τε ὢν καὶ πάντα ἐπιπορευόμενος οὐράνιά τε καὶ ἐπίγεια. τὰ ἀφανῆ καὶ τὰ ὁρώμενα διακυβερνῶν, ἥλιόν τε αὐτὸν, οὐρανὸν καὶ τὸν σύμπαντα κόσμον, ἀρρήτοις δυνάμεσιν ἡνιοχεῖ. δραστικῇ δυνάμει τοῖς πᾶσιν ἐπιπαρὼν, καὶ διὰ πάντων χωρῶν· ἔτι αὐτῷ μὲν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, ἐξ οἰκείας πηγῆς ἀέναον φῶς ἐπομβρεῖ. οὐρανὸν δὲ οἰκείου μεγέθους προσφυεστάτην εἰκόνα ὑποστησάμενος, εἰς αἰῶνα διακρατεῖ· τὰς δ᾽ ἐπέκεινα οὐρανοῦ καὶ κόσμου δυνάμεις ἀγγέλων καὶ πνευμάτων, νοερῶν τε καὶ λογικῶν οὐσιῶν, ζωῆς ὁμοῦ καὶ φωτὸς καὶ σοφίας καὶ πάσης ἀρετῆς, καλοῦ τε καὶ ἀγαθοῦ παντὸς, ἐκ τῶν παρὰ αὐτοῦ θησαυρῶν ἐμπίπλησι. μιᾷ δὲ καὶ τῇ αὐτῇ δημιουργῷ τέχνῃ, καὶ στοιχείοις οὐσίας οὔποτε διαλιμπάνει παρέχων, καὶ τοῖς σώμασι μίξεις καὶ κράσεις καὶ εἴδη καὶ μορφὰς καὶ σχήματα, ποιότητάς τε μυρίας, ἔν τε ζώοις καὶ φυτοῖς καὶ ψυχαῖς λογικαῖς τε καὶ ἀλόγοις, ἄλλοτε ἄλλως καταποικίλλων, καὶ πᾶσιν ὁμοῦ τὰ πάντα μιᾷ δυνάμει ἐπιχορηγῶν. διαῤῥήδην τε ἐπιδεικνὺς, οὐχ ἑπτάχορδον λύραν, ἕνα δὲ κόσμον πολυαρμόνιον, ἑνὸς λόγου κοσμοποιοῦ ἔργον. Λέγωμεν δὴ τὰ ἑξῆς καὶ διασαφῶμεν τὴν αἰτίαν, δι᾽ ἣν ὁ τοσοῦτος τοῦ θεοῦ λόγος τὴν εἰς ἀνθρώπους κάθοδον ἐποιεῖτο· τοῦτον δὴ τὸν οὐρανοῦ καὶ γῆς ἐπιστατοῦντα τοῦ θεοῦ λόγον, τὸν ἐξ αὐτῆς οἷα πηγῆς τῆς ἀνωτάτω πατρικῆς θεότητος γεγεννημένον, καὶ τῷ δὲ μὲν αἰεὶ τῷ κόσμῳ παρόντα καὶ συνόντα. τῆς δ᾽ αὐτοῦ προνοίας καὶ τῆς εἰς ἀνθρώπους κηδεμονίας ἐναργῆ παρεχό-

A dat, cunctaq; constituat atq; vivificet; universis deniq; ac singulis corporibus & elementis, varia munera ac beneficia ex seipsa suppeditet. Sic etiam una eademq; Solaris lucis impressio, simul eodemq; momento, aërem illustrat; oculos illuminat, tactum calefacit, terram fecundat, & plantis incrementum tribuit: tempus præterea constituit; regit ac ductat sidera; cælum circuit, Deique potentiam universis ob oculos proponit: atque hæc omnia una vi naturæ suæ perficit. Ignis quoq; natura, aurum quidem purgat, plumbum verò liquefacit: & ceram quidem dissolvit, lutum verò

B exsiccat, & ligna comburit; unâ incendiariâ vi tot tantásque res perpetrante. Eodem modo divinus sermo summus omnium Moderator, per omnia permeans, & in omnibus existens, & per cuncta cælestia simul ac terrena discurrens: & tam invisibilia quàm visibilia gubernans, Solem ipsum, cælumque ac mundum inexplicabili quadam potentia regit; virtutis suæ efficaciâ ubique præsens, & per universa pervadens. Ac Soli quidem ipsi & Lunæ ac reliquis sideribus, ex lucis suæ fonte perenne lumen effundit. Cælum verò quod velut præstantissimam quandam magnitudi-

C nis suæ imaginem effinxit, perpetuò moderatur. Eas autem potestates quæ ultra cælum ac mundum ipsum positæ sunt, Angelos scilicet ac spiritus & intellectuales rationalesq; substantias, vita simul & lumine, sapientia omniq; virtute, & pulcritudine ac bonitate ex thesauris suis depromptâ locupletat. Denique una eadémque opifice facultate, & substantiam elementis suppeditare non cessat, & corporibus mixtiones ac temperamenta, species, formas, figuras & qualitates innumerabiles tam in plantis quàm in animalibus; tam in rationalib⁹ quàm in brutis, singula admirabili va-

D rietate distinguens, & una eademq; virtute omnia omnibus affatim subministrans: & cunctis palam faciens, non septem aut plurium etiam chordarum lyram, sed unum hunc mundum tot in se harmonias continentem, unius Conditoris sermonis opus esse. Nunc verò quam ob causam tantus hic Dei sermo in terras descenderit, exponere aggrediamur. Homines stulti ac vecordes, cùm hunc Dei sermonem cæli ac terrarum Præsidem, qui ex Patris divinitate tanquã ex fonte quodam editus, semper huic mundo præsens adest, suæque pro-

Caput XIII.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN